'Αcιατίδων γήμαντα τὴν ὑπερτάτην,
Φρύγια πέπλων ἀγάλματ' ἐξάπτω χροός.
cύ τ', ὦ ποτ' οὖcα καλλίνικε μυρίων
μῆτερ τροπαίων, Ἕκτορος φίλον cάκος,
cτεφανοῦ· θανῆι γὰρ οὐ θανοῦcα cὺν νεκρῶι·
ἐπεὶ cὲ πολλῶι μᾶλλον ἢ τὰ τοῦ coφοῦ
κακοῦ τ' 'Οδυccέως ἄξιον τιμᾶν ὅπλα.
Χο. αἰαῖ αἰαῖ·
πικρὸν ὄδυρμα γαῖά c', ὦ
τέκνον, δέξεται.
cτέναζε, μᾶτερ Εκ. αἰαῖ.
Χο. νεκρῶν ἴακχον. Εκ. οἴμοι.
Χο. οἴμοι δῆτα cῶν ἀλάcτων κακῶν.
Εκ. τελαμῶcιν ἕλκη τὰ μὲν ἐγώ c' ἰάcομαι,
τλήμων ἰατρός, ὄνομ' ἔχουcα, τἄργα δ' οὔ·
τὰ δ' ἐν νεκροῖcι φροντιεῖ πατὴρ cέθεν.
Χο. ἄραcc' ἄραccε κρᾶτα
πιτύλους διδοῦcα χειρός.
ἰώ μοί μοι.
Εκ. ὦ φίλταται γυναῖκες.
Χο. †'Εκάβη, cὰc† ἔνεπε· τίνα θροεῖc αὐδάν;
Εκ. †οὐκ ἦν ἄρ' ἐν θεοῖcι† πλὴν οὑμοὶ πόνοι
Τροία τε πόλεων ἔκκριτον μιcουμένη,
μάτην δ' ἐβουθυτοῦμεν. εἰ δὲ μὴ θεὸc